www.tezaurliturgic.ro

# Ἀσματικὴ Ἀκολουθία τοῦ ἐν Ὁσίοις Πατρὸς ἡμῶν



# Θεοδώρου Στουδίτου

## τοῦ Ὁμολογητοῦ

(759-826)

Οὗ ἡ σεβάσμιος Μνήμη
τῇ 11η Νοεμβρίου

Ἔκδοσις
Ἱερᾶς Μητροπόλεως Ὠρωποῦ καὶ Φυλῆς
τῆς Ἐκκλησίας
τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν Ἑλλάδος
Ἀθῆναι 2018

# Ἀσματικὴ Ἀκολουθία τοῦ ἐν Ὁσίοις Πατρὸς ἡμῶν

# Θεοδώρου Στουδίτου

## τοῦ Ὁμολογητοῦ

(759-826)

www.tezaurliturgic.ro



Τοιχογραφία τοῦ Ὁσίου Θεοδώρου Στουδίτου.
Ἱερὰ Μονὴ Διονυσίου, Ἅγιον Ὄρος.

# Ἀσματικὴ Ἀκολουθία τοῦ ἐν Ὁσίοις Πατρὸς ἡμῶν

# Θεοδώρου Στουδίτου

## τοῦ Ὁμολογητοῦ

(759 - 826)

Οὗ ἡ σεβάσμιος Μνήμη
τῇ 11ῃ Νοεμβρίου



Ἐκ τοῦ Μηναίου Νοεμβρίου,
συμπληρωθεῖσα δὲ καὶ βελτιωθεῖσα, Χάριτι Θεία,
ὑπὸ ἐλαχίστου Διακόνου † Ὠ. κ᾿ Φ. Κ.

Ἔκδοσις
Ἱερᾶς Μητροπόλεως Ὠρωποῦ καὶ Φυλῆς

Ἐν Ἀθήναις, Μηνὶ Νοεμβρίῳ 2018ῳ



Τὰ ἐρείπια τῆς Ἱερᾶς Μονῆς Στουδίου, ὅπως εἶναι σήμερα.
Χάρτης τῆς Κωνσταντινουπόλεως.
Διακρίνεται, βέλος κόκκινο, ἡ θέσις τῆς Ἱερὰ Μονῆς Στουδίου.



www.tezaurliturgic.ro

# Προοιμιάζοντες

Ἐν ἔτει σωτηρίῳ 1976ῳ, μᾶς ἐτέθη μία ὄντως δύσκολος ὑπακοὴ ὑπὸ τοῦ Ἀειμνήστου Γέροντος καὶ Πατρὸς ἡμῶν Κυπριανοῦ, τότε Ἀρχιμανδρίτου († 17.5.2013 ἐκ. ἡμ.), νὰ συντάξωμε Τροπάριά τινα, πρὸς συμπλήρωσιν τῆς Ἱερᾶς Ἀκολουθίας τοῦ ἐν Ὁσίοις Πατρὸς ἡμῶν Θεοδώρου Στουδίτου, τοῦ Ὁμολογητοῦ, εὑρισκομένης στὸ Μηναῖον Νοεμβρίου.

Στὸ Ρoὺφ τῶν Ἀθηνῶν εὑρίσκετο Ἱερὸν Μετόχιον τῆς Ἱερᾶς Μονῆς μας, ἀφιερωμένο στὸν Ὅσιο Θεόδωρο Στουδίτη καὶ ἡ ἐτήσιος αὐτοῦ Πανήγυρις ἀπαιτοῦσε μίαν Ἀκολουθίαν πλήρη.

Μὲ συναίσθησι τῆς ἀναξιότητος καὶ ἀνεπαρκείας μας, ποιήσαντες ἐν πίστει ὑπακοήν, συνεπληρώσαμε τὰ ἐλλείποντα, ἐργασθέντες μετὰ διαλειμμάτων ἀπὸ τῆς 30ῆς Ἰουνίου ἕως τῆς 15ης Ὀκτωβρίου τοῦ ἔτους 1976.

Ἡ πλήρης πλέον Ἀκολουθία ἐψάλη γιὰ πρώτη φορὰ στὴν ἱερὰ Μνήμη τοῦ Ὁσίου Θεοδώρου, τὴν 11ην Νοεμβρίου τοῦ ἰδίου ἔτους.

* * *

Τὰ νεοσύνθετα Τροπάρια εἶναι τὰ ἑξῆς:

α. Ὁ Μικρὸς Ἑσπερινός.

β. Ἅπαντα τὰ λοιπὰ Προσόμοια καὶ Ἰδιόμελα τοῦ Ἑσπερινοῦ.

- Τὰ τοῦ Μηναίου εἶναι τὰ τρία Προσόμοια, *Ἦχος πλ. δ´, Ὢ τοῦ παραδόξου θαύματος,* ὡς καὶ τὸ Ἀπολυτίκιον, *Ἦχος πλ. δ´, Ὀρθοδοξίας Ὁδηγέ.*
- Τὸ ἕτερον Ἀπολυτίκιον, *Ἦχος γ´, Θείας Πίστεως,* εἶναι τοῦ ἀειμνήστου π. Γερασίμου Μικραγιαννανίτου.

γ. Ἅπαντα τὰ Καθίσματα τῆς Στιχολογίας καὶ τοῦ Πολυελέου τοῦ Ὄρθου, ὡς καὶ τὸ Ἰδιόμελον τοῦ Εὐαγγελίου, τὸ Κοντάκιον καὶ ὁ Οἶκος, ὡσαύτως καὶ τὰ Προσόμοια τῶν Αἴνων μετὰ τοῦ Ἰδιομέλου.

- Τὰ τοῦ Μηναίου εἶναι ὁ Κανών, τὸ ἀπὸ Ὠδῆς γ´ μεσῴδιον Κάθισμα, τὸ Συναξάριον, ὡς καὶ τὰ Ἐξαποστειλάρια.
- Τὸ Μεγαλυνάριον εἶναι τοῦ προαναφερθέντος Ὑμνογράφου.

* * *

Κατὰ τὴν πρόσφατον ἐπιμέλειαν τοῦ ὑμνογραφικοῦ αὐτοῦ ὑλικοῦ, προκειμένου νὰ δημοσιευθῆ μετὰ τεσσαράκοντα δύο ἔτη, διεπιστώσαμε τυπογραφικά τινα ἀβλεπτήματα στὸν Κανόνα τοῦ Ὄρθρου, ποίημα τοῦ Ὁσίου Θεοφάνους.

α. Ἡ Ἀκροστιχίς, κατὰ τὸ Μηναῖον, εἶναι ἡ ἑξῆς:

***«Τὸν κλεινὸν Θεόδωρον ἐν ᾄσμασι τοῖσδε γεραίρω. Θεοφάνους».***

Ἐν τούτοις, ἀπὸ τὰ Τροπάρια τοῦ Κανόνος ἐλλείπουν πλήρως ἡ λέξις **«*Θεοφάνους*»**, ἐκ δὲ τῆς λέξεως **«*κλεινὸν*»** τὰ γράμματα ***-ει*** καὶ ***-όν.***

Ὅθεν εὑρέθημεν στὴν ἀνάγκη νὰ συντάξωμε καὶ παρεμβάλωμε τέσσερα νέα Τροπάρια πρὸς συμπλήρωσιν τοῦ κενοῦ, διὸ καὶ ἡ ***Ὠδὴ γ´*** ἔχει πλέον ηὐξημένην ἔκτασιν.

Ὅσον ἀφορᾶ τὸ **«*Θεοφάνους*»**, δὲν ὑπῆρχε ἀνάγκη συμπληρώσεως, διότι κεῖται ἐκτὸς τῶν Τροπαρίων τοῦ Κανόνος.

**β. Ἐ**πίσης, ὅσον ἀφορᾷ τὸν **Κ**ανόνα, διωρθώθησαν σιωπηλῶς ἀβλεπτήματά τινα τυπογραφικά, πρὸς ἀποφυγὴν δὲ προφανοῦς *ταυτολογίας*, προέβημεν σὲ δύο ἀλλαγές:

**1. Ὠδὴ ε´,** Τροπάριον γ´: «*παμμακάριστε μάκαρ Θεόδωρε*», (ἀντὶ τοῦ «*μάκαρ*», ἐτέθη «*θεῖε*»).

**2. Ὠδὴ θ´,** Τροπάριον δ´: «*θεῖον θεηγόρον*», (ἀντὶ τοῦ «*θεηγόρον*», ἐτέθη «*θεολόγον*»).

**γ. Π**ροεκρίναμε τὴν ποίησιν νέου **Κ**οντακίου, *Ἦχος πλ. δ´, Τὸν ζηλωτὴν τῶν Παραδόσεων τὸν θεῖον*, προκειμένου νὰ συνάδη πρὸς τὸν ἐπίσης νεοσύνθετον **Ο**ἶκον, *Ἅπασαι αἱ χορεῖαι.*

**δ. Ε**ἰς τὸ **Ἐ**ξαποστειλάριον, ἐπειδὴ εἶναι ἀνώνυμον, δηλαδὴ δὲν ἀναφέρεται ὀνομαστὶ ὁ Ὅσιος Θεόδωρος, προέβημεν στὴν ἑξῆς ἀλλαγή: ἀντὶ τῆς φράσεως «*βασάνους καὶ ἐξορίας*», ἐτέθη «*Θεόδωρε θεηγόρε*».

* * *

**«Κεφάλαιον** ἐπὶ τοῖς λεγομένοις»: ἡ παροῦσα συμπεπληρωμένη Ἱερὰ Ἀκολουθία τοῦ Ὁσίου Θεοδώρου Στουδίτου τοῦ Ὁμολογητοῦ τίθεται στὴν κρίσι τῆς συνειδήσεως τῆς Ἐκκλησίας, ἡ ὁποία θὰ ἀποφανθῇ περὶ τοῦ δοκίμου αὐτῆς πρὸς χρῆσιν.

Φυλὴ Ἀττικῆς
Κυριακὴ ΙΑ´ Ματθαίου
30ὴ Ἰουλίου 2018 ἐκ. ἡμ.
† Ἁγίων **Σ**ίλα, **Σ**ιλουανοῦ, **Κ**ρήσκεντος, **Ἐ**παινετοῦ καὶ **Ἀ**νδρονίκου ἐκ **Ἑ**βδομήκοντα **Ἀ**ποστόλων

Ὁ πονήσας καὶ ποιήσας,
**Ἐ**λάχιστος **Δ**ιάκονος
*† ὁ Ὠ. κ᾿ Φ. Κ.*




**Τ**οιχογραφία εἰς τὸ Καθολικὸν τῆς Ἱερᾶς Μονῆς τῶν Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης Φυλῆς Ἀττικῆς.

# Ἀσματικὴ Ἀκολουθία
## τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Θεοδώρου Στουδίτου τοῦ Ὁμολογητοῦ

**(† 11.11.826)**

**Ψαλλομένη τῇ 11η Νοεμβρίου**

## Ἐν τῷ Μικρῷ Ἑσπερινῷ

**Μ**ετὰ τὸν Προοιμιακόν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια γ΄, δευτεροῦντες τὸ πρῶτον.

Προσόμοια ὀκτώ, φέροντα Ἀκροστιχίδα:

«Θεοδώρῳ Κ(υπριανός)»

Ἦχος βαρύς. Ἅγιοι Μάρτυρες.

**Θ**εῖον Θεόδωρον, εὐσεβῶν συστήματα, τῶν Γνησιοφρόνων, τιμήσωμεν ἐν ᾄσμασιν, Εἰκονοφίλων τὸν Ἡγήτορα.

**Ἔ**ρεισμα Πίστεως, καὶ στεῤῥὸν προτείχισμα, τῆς θεολογίας, Θεόδωρε ἐδείχθης, καὶ Μονῆς Στουδίου τὸ καύχημα.

**Ὅ**ρος ὢ Θεόδωρε, Ὀρθοδόξου Πίστεως, καὶ Εὐσεβοῦς Ἤθους, Σὺ ὤφθης Θείᾳ Χάριτι, καὶ ἀπλανῶς νῦν ὁδηγεῖς ἡμᾶς.

Δόξα. Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

**Δ**ώρημα ἄνωθεν, ὢ Παρθένε Δέσποινα, σὺν τῷ Θεοδώρῳ, δωρήσατε τοῖς τέκνοις ὑμῶν, ἐν εὐσεβείᾳ πολιτεύεσθαι.

* * *

**Εἰς τὸν Στίχον.**

Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου.

Ἦχος βαρύς.
Οὐκ ἔτι κωλυόμεθα.

**Ὡ**ς ὄντες οἱ Ὀρθόδοξοι τέκνα ὑπακοῆς, τὸν Θεόδωρον σέβομεν τοῦ Στουδίου, Πίστεως Πρόμαχον.

Στίχ. α΄. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

**Ῥ**ητόρων φληναφήματα διέλυσας Σύ, τῇ δυνάμει Πνεύματος Ἁγίου, μάκαρ Θεόδωρε.

Στίχ β΄. Στόμα δικαίου ἀποστάζει

σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας.

Ὡραίαις Διδαχαῖς Σου ἡμᾶς ὁδηγεῖς, καὶ στηρίζεις πάντας Ὀρθοδοξίᾳ, θεῖε Θεόδωρε.

Δόξα. Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Κατεύθυνον δεόμεθα Μῆτερ Θεοῦ, Θεοδώρου ἴχνεσι τὰ Σὰ τέκνα, ζήλῳ θεόφρονι.

## Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ

Μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α΄ Στάσιν τοῦ Καθίσματος Α΄ τοῦ Ψαλτηρίου, ἤτοι τὸ Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τὰ ἑπόμενα, τρία νεοσύνθετα καὶ εἶτα τὰ ἐν τῷ Μηναίῳ ἐπίσης τρία.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν ἀρχηγέτην Στουδίου, δεῦτε ὑμνήσωμεν, καὶ τῶν σεπτῶν Εἰκόνων, τὸν προστάτην τὸν θεῖον· ὄντως ἀνεδείχθη δῶρον Θεοῦ, δογματίσας σαφέστατα· ἡ τῶν Εἰκόνων προσκύνησις καὶ τιμή, διαβαίνει εἰς πρωτότυπον.

Τιμᾶν Εἰκόνα Δεσπότου, καὶ Θεομήτορος, καὶ πάντων τῶν Ἁγίων, διεσάλπισας Πάτερ, πᾶσιν Ὀρθοδόξοις διδοὺς χαράν, ὦ Θεόδωρε πάνσοφε, καὶ Παραδόσεων ὤφθης φύλαξ στεῤῥός, καὶ Δογμάτων περιτείχισμα.

Τὸ κατ᾽ εἰκόνα καθάρας, σεπτὲ Θεόδωρε, Εἰκόνων τῶν ἁγίων, θεῖος πρόμαχος ὤφθης, δαίμονος ἐκλύσας πᾶσαν ἰσχύν, Παρακλήτου τῇ Χάριτι, καὶ τῶν σεπτῶν διδαχῶν Σου θείαις ῥοαῖς, πλάνης φλόγας ἐναπέσβεσας.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου.

Πάτερ ἀληθῶς φερώνυμε, τὰς ὑπὲρ νοῦν δωρεάς, οὐρανόθεν δεξάμενος, εὐσεβῶς μετέδωκας, τοῖς ποθοῦσι Θεόδωρε· καὶ πλεονάσας μάκαρ τὸ τάλαντον, εὐλογημένης φωνῆς ἀκήκοας· ἔνδον καλούσης Σε, τοῦ Νυμφῶνος· ἔνθα νῦν, περιπολεῖς, Θρόνῳ τοῦ Παντάνακτος ἐμφανιζόμενος.

Πάτερ Πατέρων Θεόδωρε, Σὺ Μοναζόντων πληθύν, τῷ Χριστῷ προσενήνοχας, σωτηρίας αἴτιος, γεγονὼς χριστομίμητος, διδασκαλίαις ἀγλαϊζόμενος, καὶ προστασίαις ψυχῶν κοσμούμενος, στόμα δεικνύμενος, τοῦ Κυρίου πάνσοφε, προφητικῶς· Ὢ νῦν παριστάμενος, ἡμῶν μνημόνευε.

Χάρις δαψιλὴς τοῦ Πνεύματος, ἱερομύστα σαφῶς, ἐξεχύθη Σοῖς χείλεσι, καὶ πηγὴν ἀνέβλυσε, διδαγμάτων Θεόδωρε, τῆς εὐσεβείας δείξασα πρόμαχον, τῆς Ἀληθείας σφοδρὸν συνήγορον, στῦλον ἑδραίωμα, Ὀρθοδόξου Πίστεως, Μοναδικοῦ, Βίου ἀκριβέστατον, κανόνα πάνσοφε.

Δόξα. Ἦχος πλ. δ΄.

**Τ**ῶν Ὀρθοδόξων τὰ συστήματα, δεῦτε συνέλθωμεν καὶ ὕμνοις καταστέψωμεν, Θεόδωρον τὸν ζηλωτήν, καὶ μαχητὴν ὑπερθαύμαστον· τὸν τοῦ Στουδίου φωστῆρα, καὶ θεῖον ἐραστήν, Ἀποστολικῶν Παραδόσεων· ἐν Αὐτῷ διεσώθη, τὸ κατ᾽ εἰκόνα ἀλώβητον· ἀναλαβὼν γὰρ τὸν ζυγὸν τοῦ Χριστοῦ, ἠκολούθησε τοῖς ἴχνεσιν Αὐτοῦ, ὑπερορῶν τῆς σαρκός, ὡς παρερχομένης, καὶ ἐπιμελούμενος ψυχῆς, ἀθανάτου πράγματος· διὸ καὶ ὁ Σωτήρ, ἐδωρήσατο Αὐτῷ, τὸ καθ᾽ ὁμοίωσιν, καὶ νῦν ἀγάλλει, μετὰ τῶν Ἀσωμάτων ἐν Οὐρανοῖς, πρεσβεύων ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.
Ὁ αὐτός.

**Ὁ** Βασιλεὺς τῶν Οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος καὶ ἐν Ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, εἷς ἐστιν Υἱός, διπλοῦς τὴν Φύσιν, ἀλλ᾽ οὐ τὴν Ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· Ὃν ἱκέτευε Μήτηρ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

* * *

Εἴσοδος. Φῶς ἱλαρόν.

Τὸ Προκείμενον τῆς ἡμέρας.

**Τὰ Ἀναγνώσματα.**

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. γ΄ 1-9.

**Δ**ικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος.

**Ἔ**δοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν,

**Κ**αὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ.

**Κ**αὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης·

**Κ**αὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους Ἑαυτοῦ·

**Ὡ**ς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς.

**Κ**αὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται·

Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας.

Οἱ πεποιθότες ἐπ᾽ Αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις Αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. ε΄ 15-23, ϛ΄ 1-3.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ.

Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν.

Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν.

Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον·

Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα·

Ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας.

Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπί σκοπὸν ἁλοῦνται·

Καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι.

Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως.

Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς.

Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.

Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς·

Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν·

Ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου, Ὃς ἐξετάσει ὑμῖν τὰ ἔργα καὶ τὰς βουλὰς διερευνήσει.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. δ΄ 7-15.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται·

Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται·

Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.

Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη·

Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ·

Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.

Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς·

Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας.

Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον,

Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις Αὐτοῦ. ἐκ τοῦ στόματος τοῦ σπέρματός σου· εἶπε γὰρ Κύριος, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.

Φωτίζου φωτίζου Ἱερουσαλήμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν.

Ἰδοὺ σκότος καλύψει γῆν ὡς γνόφος ἐπ᾽ ἔθνη· ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα Αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται.

* * *

**Εἰς τὴν Λιτήν.**

Στιχηρὰ Ἰδιόμελα.

Ἦχος α΄.

Ἀγάλλου καὶ εὐφραίνου δῆμος τῶν Ὀρθοδόξων, ἐπὶ τῇ μνήμῃ τοῦ ἱεροῦ Θεοδώρου, καὶ χεῖρας κροτοῦντες πνευματικῶς, ἀσπασθῶμεν τὴν σεπτὴν αὐτοῦ Εἰκόνα κράζοντες· χαῖρε ὁσίων ἐγκαλλώπισμα· χαῖρε ὀλετὴρ γλωσσάλγων αἱρετικῶν· χαῖρε ζηλωτὰ θεσπέσιε, καὶ τῆς Εἰκόνος τῆς Δεσποτικῆς ὑπέρμαχε· μὴ παύσῃ ἱλεούμενος ἡμῖν τὸν Κύριον, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

**Ἀ**ποστολικαῖς Παραδόσεσιν ἑπόμενος, ἠγωνίσω Πάτερ φερώνυμε, ζήλῳ πεπυρσευμένος, καὶ ὑπερφρονήσας δόξης φθειρομένης, τῆς ἄνω διαμενούσης ἐπέτυχες· σάρκα γάρ, κόσμον καὶ κοσμοκράτορα βδελυξάμενος, ὄντως θεῖον δῶρον τοῖς Ὀρθοδόξοις ὤφθης. Πρέσβευε τῷ Κυρίῳ Θεόδωρε, Στουδίου ἀρχηγέτα, τοῦ ἀξιῶσαι ἡμᾶς, προσκυνεῖν τὴν Αὐτοῦ ἁγίαν Εἰκόνα, ψυχαῖς καθαραῖς καὶ ἀῤῥυπώτοις χείλεσιν.

Ὁ αὐτός.

**Χ**ορευέτωσαν αἱ τοῦ Χριστοῦ Ἐκκλησίαι, ἑορτάζουσαι τὴν τοῦ καλλικελάδου Θεοδώρου φαιδρὰν πανήγυριν· Οὗτος γὰρ ὡς λαμπτὴρ ἐξανέτειλε, καὶ ἀπελάσας τὸ σκότος τῆς ἀσεβείας, πρόβολος καὶ πύργος ἀῤῥαγής, τῆς εὐσεβείας ἐδείχθη. Διδασκαλίαις ἀγλαϊζόμενος, ῥάβδῳ ποιμαντικῇ ἴθυνε, εἰς νομὰς ζωηφόρους τὸ ἑαυτοῦ ποίμνιον· σφοδρὸς δὲ συνήγορος ἀληθείας γενόμενος, τὰς ὀφρύας ἐταπείνωσε, δυσσεβῶν εἰκονομάχων· ἐκτυπώματα γὰρ Χριστοῦ, Θεομήτορος καὶ πάντων τῶν Ἁγίων, τιμητικῶς ἀσπαζόμενος, οὕτω καὶ τρανῶς ἐδίδαξε, ποιεῖν τὸν νέον Ἰσραήλ, βλάσφημον γλωσσαλγίαν σιγήσας. Ἀλλ᾽ ὦ ἱερομύστα Θεόδωρε, ἀποσκοράκισον καὶ νῦν πρεσβείαις Σου, σχίσματα Ἐκκλησιῶν, ἐπιβλέπων ἱλέῳ ὄμματι ἐφ᾽ ἡμᾶς, τοὺς γνησιόφρονας δούλους Σου.

Δόξα. Ἦχος δ΄.

**Π**ηγὴ εὐσεβείας ἀληθῶς, ἀνεδείχθης θεοφόρε, ἐξ ἧς ἀρυόμεθα νάματα σωτήρια· τὴν πρᾶξιν γὰρ θέμενος θεωρίας ἐπίβασιν, ὤφθης πατὴρ θεόσοφος, καὶ ζηλωτὴς πανθαύμαστος. Ἐκήρυττες εὐήχῳ σάλπιγγι τοῦ πνεύματος, τοῖς ἐγγὺς καὶ τοῖς μακράν, τὴν προσκύνησιν τῶν Εἰκόνων, διαβαίνουσαν εἰς τὸ πρωτότυπον· καὶ ἤθλησας ὑπὲρ Αὐτῶν, λογισμῷ θεόφρονι, ὑπερορίας ὑπενεγκὼν καὶ ποικίλας κακώσεις· νῦν δὲ τοῖς κόλποις Ἀβραὰμ ἀναπαυόμενος, πρέσβευε τῇ Εἰκόνι τοῦ Πατρός, τῷ Σωτῆρι καὶ Θεῷ ἡμῶν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.
Ὁ αὐτός.

**Ἐ**κ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε, εὐλογημένη Θεοτόκε· ἵνα Σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

* * *

**Εἰς τὸν Στίχον.**

Στιχηρὰ Προσόμοια τρία.

Ἦχος δ΄. Ὡς γενναῖον.

**Τ**ὴν εἰκόνα Σου Ἅγιε, εὐλαβῶς ἀσπαζόμεθα, ἀπαντλοῦντες Χάριν καὶ θεῖον Ἔλεος, καὶ ἀνυμνοῦντές Σε λέγομεν· Πατέρων ἀγλάϊσμα, καὶ διδάσκαλε σοφέ, τῶν Εἰκόνων ὑπέρμαχε, ὦ Θεόδωρε, τῶν Καινοτόμων διάλυ-

σον τὸν ζόφον, ταῖς πρεσβείαις Σου Κυρίῳ, καὶ Ἐκκλησίαν εἰρήνευσον.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

**Τ**αῖς αὐγαῖς τῶν λογίων Σου, θεομάκαρ Θεόδωρε, Μοναστῶν ἐλάμπρυνας θεῖον σύστημα, καὶ ἀνενδότῳ φρονήματι, Πατέρων τὰ Δόγματα, ὑπερήσπισας λαμπρῶς, καὶ Ἁγίων Μορφώματα, διεκήρυττες, προσκυνεῖν σχετικῶς καὶ εὐλαβεῖσθαι· διὸ πάντες Σὲ τιμῶμεν, τῶν Ὀρθοδόξων τὸ καύχημα.

Στίχ. Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας.

**Ὀ**ρθοδόξων ὁ σύλλογος, ὦ Θεόδωρε Ὅσιε, γηθοσύνοις ᾄσμασιν ἀνυμνεῖ Σε νῦν· καταφρονήσας γὰρ ῥέοντα, τὰ ἄνω ἐκέρδησας, καὶ ἀγάπῃ τοῦ Θεοῦ, τὴν καρδίαν φλεγόμενος, ὤφθης ὄλεθρος, τῶν ἐχθρῶν τῶν Εἰκόνων καὶ τῆς πλάνης, καθαιρέτης θεηγόρος, καὶ Μοναστῶν ἐγκαλλώπισμα.

Δόξα. Ἦχος πλ. β΄.

**Ὁ**ρῶντες τὰς σεπτὰς Εἰκόνας, πιστεύομεν ἅπερ λόγῳ ἀκηκόαμεν, καὶ διεγειρόμενοι ἀεὶ πρὸς μνήμην, τῆς τοῦ Θείου Λόγου Ἐνανθρωπήσεως, προσκυνοῦμεν πανευλαβῶς, τιμητικῷ τῷ τρόπῳ, καὶ ἔμπλεοι χαρᾶς πνευματικῆς, βοῶμεν τρανῶς· Χαίροις πάτερ Θεόδωρε, χριστοκήρυξ πανόλβιε. Ὃς ἠγωνίσω στεῤῥῶς, καὶ παρέδωκας ἡμῖν ὃ καὶ παρέλαβες, θραύσας γλωσσαλγίας δυσφήμων εἰκονομάχων· καὶ νῦν φερώνυμε Ἅγιε, κόπασον σάλον τῶν Ἐκκλησιῶν, καὶ ἀπέλασον πλάνας τῆς Δύσεως, δωρούμενος εἰρήνην πρεσβειῶν Σου νάμασι.

Καὶ νῦν. Ὁ αὐτός.
Θεοτοκίον.

**Θ**εοτόκε Σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ καὶ τοῦ Ὁσίου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

* * *

## Ἀπολυτίκια.

Ἦχος πλ. δ΄.

**Ὀ**ρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστήρ, τῶν Μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Θεόδωρε σοφέ, ταῖς διδαχαῖς Σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἕτερον.
Ἦχος γ΄. Θείας Πίστεως.

**Δ**ώρων μέτοχος, τῆς ἀφθαρσίας, δῶρον ἄσυλον, τῆς Ἐκκλησίας, φερωνύμως ἀνεδείχθης Θεόδωρε· τοῖς ἱεροῖς γὰρ ἑπόμενος Δόγμασιν, ὁμολογίας φωστὴρ ἐχρημάτισας. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν.
Θεοτοκίον. Ἦχος γ΄.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ Σοῦ προσληφθείσῃ, Ὁ Υἱός Σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

* * *

## Εἰς τὸν Ὄρθρον

### Καθίσματα.

**Μετὰ τὴν α′ Στιχολογίαν.**

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τῶν Εἰκόνων τῶν θείων τὸν ζηλωτήν, ἀληθείας τὸν κήρυκα τὸν λαμπρόν, ὑμνήσωμεν ἅπαντες, τὸν Θεόδωρον λέγοντες· ὁ τοῦ Στουδίου χαῖρε ποιμὴν θεοπρόβλητε, καὶ Εὐσεβείας φύλαξ θεοειδέστατε· ὄντως θεῖον δῶρον Ἐκκλησίᾳ ἐδείχθης, ἀχλὺν τῶν αἱρέσεων, τῷ φωτὶ τῶν δογμάτων Σου, διαλύσας θεόφθογγε· στῦλε Ἀληθείας στεῤῥέ, καὶ ὑμνογράφε θεόπνευστε σπεῦσον νῦν, καὶ πρεσβείαις Σου σβέσον, φλόγα αἱρέσεων.

Δόξα. Καὶ νῦν.
Θεοτοκίον. Ὅμοιον.

Διὰ σπλάγχνα ἐλέους τῇ Σῇ γαστρί, συνελήφθη ἀφράστως Λόγος Θεοῦ, θεώσας τὸ πρόσλημμα, καταργήσας τὸν θάνατον· πεπτωκυῖαν σάρκα φορέσας ὁ ἄσαρκος, περιγραπτὸς ὁρᾶται ὁ φύσει ἀνείδεος· ὅθεν προσκυνοῦντες τὴν Εἰκόνα Σου Μῆτερ, ἐν πίστει δοξάζομεν, τοῦ Πατρὸς τὸ Ἀπαύγασμα, καὶ ἐν πόθῳ Σοι κράζομεν· σπεῦσον Θεοτόκε ἁγνή, καὶ τῶν παθῶν ἡμῶν εἴδωλα σύντριψον, καὶ Χριστοῦ εὐωδίαν, πάντας ἀνάδειξον.

**Μετὰ τὴν β′ Στιχολογίαν.**

Ἦχος γ΄. Θείας Πίστεως.

Θεῖον δώρημα, τοῖς Ὀρθοδόξοις, πάτερ Ὅσιε, ἐναπεδείχθης· ἐν θεωρίᾳ καὶ πράξει διέλαμψας, καὶ ζηλωτὴν Ἠλιοὺ μιμησάμενος, εἰκονομάχων τὰς γλώσσας ἀπέτεμες· λῦσον σύλλογον καὶ νῦν ὦ σεπτὲ Θεόδωρε, αἱρέσεων δεινῶν τῇ μεσιτείᾳ Σου.

Δόξα. Καὶ νῦν.
Θεοτοκίον. Ὅμοιον.

Λόγον Πάναγνε, ἀσυνδυάστως, θείου Πνεύματος, τῇ συνεργίᾳ, ἀνερμηνεύτῳ τῷ τρόπῳ ἐκύησας, Οὗ προσκυνοῦντες Εἰκόνα τὴν πάνσεπτον, συμπροσκυνοῦμεν καὶ Σὲ ἀνακράζοντες· χείλη ἄλαλα γλωσσάλγων δεινῶν σιγάτωσαν, τὸ θεῖον ἀθετούντων Σου Ἐκτύπωμα.

**Μετὰ τὸν Πολυέλεον.**

Ἦχος γ΄. Τὴν ὡραιότητα.

**Γ**λῶσσά Σου γέγονε, ῥομφαία δίστομος, καὶ ἐναπέτεμε, φλυάρων σύστημα, τὸ ἐπαρθὲν κατὰ Θεοῦ, Θεόδωρε θεοφάντορ· θείοις Σου διδάγμασι, καὶ τοῖς ὕμνοις Σου Ἅγιε, εὐσεβείας πρόμαχος, θεολόγος τε ἄριστος, ὀφθεὶς τοῦ Παρακλήτου τῇ νεύσει, πάντων ἐδείχθης παρακλῆτορ.

Δόξα. Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

**Ὁ** τοῦ Θεοῦ Υἱός, ἐκ τῶν αἱμάτων Σου, σάρκα προσέλαβεν, ἀτρέπτως Πάναγνε, καὶ ἀναπλάσας τὸν Ἀδάμ, ἐλάμπρυνεν ὑπὲρ πρῶτον· Σὲ δὲ ἐναπέδειξεν, ἀνωτέραν τοῦ σύμπαντος, θείων τε Δυνάμεων, Αἵ Σε νῦν μεγαλύνουσιν· ἡμῖν δέ Σου εἰκόνα τιμῶσι, βλύσον χαρίτων Σου τὰ ῥεῖθρα.

* * *

## Τάξις Εὐαγγελίου τοῦ Ὄρθρου.

Οἱ Ἀναβαθμοί.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. Ἦχος δ΄.

**Τ**ὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. (δὶς)

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;

**Τ**ὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Τὸ Πᾶσα πνοή.

Εὐαγγέλιον. Βλέπε τὸ τῆς Παρασκευῆς τῆς Ζ΄ Ἑβδομάδος ἐκ τοῦ κατὰ Λουκᾶν ιβ΄ 2-12.

Βλέπε Ἐπίμετρον, σελ. 21.

Ὁ Ψαλμὸς Ν΄.

Δόξα.

**Τ**αῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

**Τ**αῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον.

Ἦχος πλ. β΄.

**Ὅ**σιε Πάτερ, δόξης ἀϊδίου κατασχεθεὶς τῷ ἔρωτι, διέπτυσας πᾶσαν παρερχομένην εὐδοξίαν, καὶ κολληθεὶς ψαλμικῶς ὀπίσω Χριστοῦ, τούτου τὸν Τύπον σχετικῶς ἐτίμησας· ὅθεν οὐ διωγμοί, οὐ μάστιγες ἐχώρισάν Σε, τῆς εὐσεβοῦς περὶ Θεοῦ γνώμης Θεόδωρε· ἐκδυθεὶς δὲ παλαιὸν ἄνθρωπον, τὴν τῆς ἀφθαρσίας στολὴν ἠμφιάσω· καὶ νῦν ἐν οὐρανοῖς, οὐκ ἐν ἐσόπτρῳ καὶ αἰνίγμασι, καθορῶν τὸν Δεσπότην, Αὐτὸν καθικέτευε ὑπὲρ ἡμῶν, καθαρθῆναι τοῦ ῥύπου τῶν παθῶν, ἵνα ἐπαξίως προσκυνῶμεν, τὸ Αὐτοῦ Ἐκτύπωμα.

* * *

## Οἱ Κανόνες.

Ὁ τῆς Θεοτόκου «Ὑγρὰν διοδεύσας», μετὰ τῶν Εἱρμῶν εἰς ϛ΄, καὶ ὁ τοῦ Ὁσίου, ἐκ τοῦ Μηναίου, ἄνευ Εἱρμῶν εἰς η΄.

**Τῆς Θεοτόκου·**

Ἦχος πλ. δ΄.

ᾨδὴ α΄. Ὁ Εἱρμός·

«Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν». (δὶς)

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς Σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· Ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ Σου, Πανάμωμε.

Σωτῆρα τεκοῦσά Σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· Σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ Σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

**Τοῦ Ὁσίου,** οὗ ἡ Ἀκροστιχίς·

«Τὸν κλεινὸν Θεόδωρον ἐν ᾄσμασι τοῖσδε γεραίρω. Θεοφάνους».

Ἦχος πλ. δ΄.

ᾨδὴ α΄. Ἁρματηλάτην Φαραώ.

Ταῖς φωτοβόλοις ἀστραπαῖς τοῦ Πνεύματος, καταλαμπόμενος, ὁλολαμπὴς στῦλος, Πάτερ ἐχρημάτισας, καθοδηγῶν Θεσπέσιε, πρὸς τὴν Γῆν θεοφρόνως, Ἐπαγγελίας τοὺς σπεύδοντας, μύστα τῶν ἀῤῥήτων Θεόδωρε. (δὶς)

Ὁλοσχερῶς ταῖς ἀνενδότοις νεύσεσι, πρὸς τὸν Θεὸν ἐκδημῶν, πρὸ τελευτῆς ὤφθης, ζωηφόρον νέκρωσιν, ἐνδεδυμένος Ὅσιε, καὶ ζωὴν τὴν ἀγήρω, νῦν ἐπαξίως ἀπείληφας, Πάτερ θεοφόρε Θεόδωρε.

Νενικηκὼς τὰ τῶν παθῶν σκιρτήματα, τὰς τῶν τυράννων ὁρμάς, νεανικῶς Μάκαρ, πάσας ἐξεφαύλισας, πεπαῤῥησιασμένῃ ψυχῇ, τοῦ Χριστοῦ τὴν Εἰκόνα, τιμᾶν διδάσκων Θεόδωρε, καὶ τὰ τῶν Ἁγίων Μορφώματα.

Κεκαθαρμένῃ διανοίᾳ πάνσοφε, ταῖς θεοπνεύστοις Γραφαῖς, προσομιλῶν πλοῦτον, ἀρετῶν συνήθροισας, καὶ εὐσεβείας Δόγματα, θεωρίαν πλουτίσας, καὶ βίου μάκαρ λαμπρότητα, λάμψας ἀμφοτέρωθεν Ὅσιε.

Θεοτοκίον.

Λόγον Θεοῦ σωματωθέντα τέτοκας, τὸν πρὶν ἀσώματον, θεανδρικῶς κόσμῳ, συναναστρεφόμενον, ὑπερφυῶς πανάμωμε, Θεοτόκε Παρθένε· διό σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

**Καταβασία· Ἀνοίξω τὸ στόμα μου.**

**Τῆς Θεοτόκου.**

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

«Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, Σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ Σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε». (δὶς)

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σὲ Θεογεννῆτορ Παρθένε· Σύ με κυβέρνησον πρὸς τὸν λιμένα Σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου· Σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, Σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ Σε γινώσκω, θησαυρὸν Πανάμωμε, τὸν ἀδαπάνητον.

**Τοῦ Ὁσίου.**

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἐγκαυχωμένων ἐπὶ Σοί, τῶν Ὀρθοδόξων χορεῖαι, εὐλαβῶς τὴν Σὴν Εἰκόνα τιμῶσι, καὶ δοξάζουσι Χριστόν, Οὗ τῇ ἰσχύϊ ἔλαμψας, Ἀληθείας ἀγῶσι, θεῖε καὶ μάκαρ Θεόδωρε.

Ἰθυνομένων τῶν πιστῶν, εἰς τὰς νομὰς τοῦ Σωτῆρος, διδαχαῖς τῶν Συγγραμμάτων Σου μάκαρ, καὶ Εἰκόσι ταῖς σεπταῖς, ἀνευφημοῦσιν Ἅγιε, Ὀρθοδόξων τὸ κλέος, Σὲ θεοῤῥῆμον Θεόδωρε.

Νενευρωμένος τοῦ Χριστοῦ, Παμμάκαρ τῇ παντευχίᾳ, τῶν πληγῶν τὰς ἀλγηδόνας ὑπέστης, μαστιζόμενος δεινῶς, καὶ σκότει καθειργνύμενος· ὡς κοινωνὸς δὲ Πάθους, καὶ Βασιλείας γεγένησαι.

Ὁλολαμπὴς μαρμαρυγαῖς, Ὀρθοδοξίας ἐδείχθης, ἀσεβῶν δὲ ἀπελάσας αἱρέσεις, Ἀληθείᾳ ἀκραιφνῆ, τοὺς εὐσεβεῖς ἐστήριξας, καὶ Εἰκόνας τὰς θείας ὕψωσας κήρυξ Θεόδωρε.

Νομοθετήσας προσκυνεῖν, τὰς Ἐκτυπώσεις Ἁγίων, καὶ Χριστοῦ καὶ Θεοτόκου Σὺ Πάτερ, τὰς καρδίας Εὐσεβῶν, ἀγαλλιάσει ἔπλησας, ὦ Θεόδωρε Ἅγιε, φάρε Στουδίου ἀείφωτε.

Θεοφορούμενος σαφῶς, καὶ ζήλῳ πεπυρσευμένος, τὰς βεβήλους διδαχάς, τῶν ἀφρόνων, διαλέλυκας ταῖς Σαῖς, διδασκαλίαις Πάνσοφε· τὴν ἐκ Θεοῦ χάριν, Θεόδωρε κατεπλούτισας.

Ἐν θεωρίαις πρακτικός, ἐν πράξεσι θεολόγος, ἐχρημάτισας Θεόδωρε, Πάτερ, ἀσκητὴς διδακτικός, ἱερομάρτυς ἔνδοξος, Ὀρθοδοξίας στῦλος, τῆς Ἐκκλησίας ἑδραίωμα.

Θεοτοκίον.

**Ὁ** συναΐδιος Πατρί, καὶ Πνεύματι Θεός, Λόγος, ἀναπλάσαι βουληθεὶς τὸν Γενάρχην, καθ᾽ ὑπόστασιν Αὐτόν, ἐκ Σοῦ Ἁγνὴ συνέλαβεν, ἁγιωτέραν πάντων, Σὲ Θεομῆτορ εὑράμενος.

**Καταβασία· Τοὺς Σοὺς ὑμνολόγους.**

* * *

## Καθίσματα.

Ἦχος γ΄. Θείας Πίστεως.

**Θ**εῖα Δόγματα καταπλουτήσας, Πίστιν ἔσωσας Ὀρθοδοξίας, προκινδυνεύσας ὑπὲρ ταύτης Θεόδωρε, ἐν ἐξορίαις ἀθλήσας καὶ μάστιξιν, ἐν φυλακαῖς καρτερήσας τὴν κάκωσιν· Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

**Θ**εία γέγονας Σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπερέχουσα· τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον πρεσβειῶν Σου ἐνθέοις νάμασι, παρέχουσα Σεμνὴ τὸ μέγα ἔλεος.

* * *

## Κανόνων συνέχεια.

**Τῆς Θεοτόκου.**

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

«**Ε**ἰσακήκοα Κύριε, τῆς Οἰκονομίας Σου τὸ Μυστήριον· κατενόησα τὰ ἔργα Σου· καὶ ἐδόξασά Σου τὴν Θεότητα». (δὶς)

**Τ**ῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

**Ε**ὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς Σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων, τῶν ὑμνούντων Σε.

**Ἀ**πολαύοντες Πάναγνε, τῶν Σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές Σε Θεομήτορα.

**Ο**ἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι Σε Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

**Τοῦ Ὁσίου.**

Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

**Δ**ῶρον Θεοῦ, δέδοσαι κόσμῳ φερώνυμε, ταῖς πλουσίαις, χάρισι λαμπόμενος, ὡς τὴν πηγήν, ἔχων ἀληθῶς, τῶν ἀπαυγασμάτων, τῶν τῇ δε μάκαρ Θεόδωρε· ἐντεῦθεν Διδασκάλων, Ἀσκητῶν καὶ Μαρτύρων, συγχορεύεις τοῖς δήμοις ἠξίωσαι.

**Ὢ** τῆς στεῤῥᾶς, καὶ καρτερᾶς Σου ἐνστάσεως! ἣ τυράννων θράσος κατεπάτησας· δι᾽ ἧς σαφῶς, Σὺ τὴν ὑπὲρ νοῦν, τῆς ἀγαθαρχίας ἐσχάτην μακαριότητα, κατέ-

λαβες Θεόφρον, ἀσωμάτοις συμψάλλων· Τῇ δυνάμει Σου δόξα Φιλάνθρωπε.

**Ῥ**ῆμα Θεοῦ, Σοὶ ἐνοικῆσαν φανότατα, τῶν Δογμάτων, πάνσοφε Θεόδωρε, τοὺς ποταμοὺς βρύει δαψιλῶς· Οἷς νῦν ἐντρυφῶντες, οἱ φοιτηταί Σου θεόπνευστε, βοῶμεν εὐχαρίστως, ἐν φωναῖς ἀσιγήτοις· Τῇ δυνάμει Σου δόξα Φιλάνθρωπε.

Θεοτοκίον.

**Ὅ**λον ἐν Σοί, ἀνακαινίζει τὸν ἄνθρωπον, ὅλως ὅλῳ, Πάναγνε ἑνούμενος, ὁ Πατρικούς, Κόλπους μὴ λιπών, καὶ τὴν Σὴν γαστέρα, οἰκῆσαι καταδεξάμενος· ὁ πλούτῳ εὐσπλαγχνίας, ἑκουσίως πτωχεύσας καὶ πλουτήσας τὸν κόσμον Θεότητι.

**Καταβασία· Τὴν ἀνεξιχνίαστον.**

**Τῆς Θεοτόκου.**

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

«**Φ**ώτισον ἡμᾶς, τοῖς προστάγμασί Σου, Κύριε, καὶ τῷ βραχίονί Σου τῷ ὑψηλῷ, τὴν Σὴν εἰρήνην, παράσχου ἡμῖν Φιλάνθρωπε». (δὶς)

**Ἔ**μπλησον Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν Σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν Αἴτιον.

**Λ**ύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε Ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

**Λ**ῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου, Θεόνυμφε, τῷ φωτισμῷ τῆς Σῆς λαμπρότητος, ἡ Φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον.

**Ἴ**ασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς Σου ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ Σου παράσχου μοι.

**Τοῦ Ὁσίου.**

Ὠδὴ ε΄. Ἱνατί με ἀπώσω.

**Ν**οῦν ψυχήν τε καὶ σῶμα, λόγῳ καθηράμενος, ναὸς πανέντιμος, τοῦ Θεοῦ τῶν ὅλων, ἐχρημάτισας Πάτερ Θεόδωρε, εὐωδίας θῦμα, ὅλον σαὐτὸν Χριστῷ προσφέρων, ἱερεὺς καὶ θυσία γενόμενος. (δὶς)

**Ἐ**λλαμπόμενος μάκαρ, αἴγλῃ τῇ τοῦ Πνεύματος, πᾶσιν ἀπήστραψας θεολόγῳ γλώσσῃ, τῆς Τριάδος τὸ φέγγος τὸ ἄχραντον, τῆς Σαρκώσεώς τε, τῆς ὑπὲρ νοῦν τοῦ Θεοῦ Λόγου, τὸ ἀπόῤῥητον Πάτερ Μυστήριον.

**Ν**οερῶς τοῖς Ἀγγέλοις, νῦν συναυλιζόμενος, Χριστὸν δυσώπησον, τῶν παθῶν ῥυσθῆναι, καὶ κινδύνων τοὺς Σὲ μακαρίζοντας, καὶ τὴν Σὴν τιμῶντας, πανευκλεῆ καὶ θείαν μνήμην, παμμακάριστε θεῖε Θεόδωρε.

Θεοτοκίον.

**Ἀ**νεκφράστῳ Παρθένε, τρόπῳ ἐνοικήσας Σοι, ἄνθρωπος γίνεται, ὁ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς ἀναλάμψας τὸν δ᾽ ἄνθρωπον, ἐκ φθορᾶς λυτροῦται, καὶ πρὸς ζωὴν καὶ ἀφθαρσίαν, ἐπανάγει ὡς μόνος Φιλάνθρωπος.

**Καταβασία· Ἐξέστη τὰ σύμπαντα.**

**Τῆς Θεοτόκου.**

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

«**Τ**ὴν δέησιν ἐκχεῶ πρὸς Κύ-

ριον, καὶ Αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις· ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ ᾅδῃ προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς· Ἐκ φθορᾶς, ὁ Θεός με, ἀνάγαγε». (δὶς)

**Θ**ανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, Ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν Σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

**Π**ροστάτιν Σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην, Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν· καὶ δέομαι διὰ παντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

**Ὡ**ς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν Σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί Σου ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

**Ἐ**ν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ᾽ ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, Σοῦ δέομαι τῆς Ἀγαθῆς· Ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

**Τοῦ Ὁσίου.**

Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι.

**Σ**ωφρόνως σου τὴν ζωήν, Θεόδωρε μάκαρ ἤνυσας, δικαιοσύνῃ σαφῶς, ἀνδρείᾳ φρονήσει τε, τερπνότατον ὄχημα, ἀρετῶν ἠρμόσω, Σεαυτῷ θεόφρον Ὅσιε. (δὶς)

**Μ**υρίζουσιν εὐπρεπῶς, Δογμάτων οἱ θεῖοι λόγοι Σου, καὶ ἐκ βυθοῦ τῶν κακῶν αἱρέσεων ἅπαντας, ἀνάγουσι Πάνσοφε, τῆς Ὀρθοδοξίας, πρὸς μετάρσιον ἀκρότητα.

**Ἀ**νέτειλέ Σοι τὸ φῶς, καὶ τούτου Πάτερ ἡ σύζυγος, νῦν εὐφροσύνη σαφῶς· ὡς φοίνιξ γὰρ ἤνθησας, Παμμάκαρ Θεόδωρε, καὶ καθάπερ κέδρος, ἐπληθύνθης ἀξιάγαστε.

Θεοτοκίον.

**Σ**ωθείημεν διὰ Σοῦ, Θεογεννῆτορ Πανάμωμε, καὶ τύχοιμεν ἀληθῶς, τῆς θείας ἐλλάμψεως, Θεοτόκε Ἄχραντε, τοῦ ἐκ Σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

**Καταβασία· Τὴν θείαν ταύτην.**

* * *

## Κοντάκιον καὶ Οἶκος.

Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

**Τ**ὸν ζηλωτὴν τῶν Παραδόσεων τὸν θεῖον, Γνησιοφρόνων αἱ χορεῖαι νῦν τιμήσωμεν, περιγράφοντες ἐν ὕμνοις αὐτοῦ ἀγῶνας· στομωθεὶς γὰρ ταῖς τοῦ Πνεύματος ἐλλάμψεσι, κατενίκησε τῆς πλάνης τὰ ὁρμήματα· ὅθεν κράζωμεν· Χαίροις Πάτερ Θεόδωρε!

## Οἶκος.

Ἅπασαι αἱ χορεῖαι, εὐσεβῶν προσελθόντες, τὸν Στουδίου Ἀρχηγέτην τιμῶμεν, καὶ σὺν τῇ ἀντιλήψει Αὐτοῦ, ἀνυμνήσωμεν πανευλαβῶς σκάμματα, Ἀσκήσεως καὶ Πίστεως, Ὁσίου Θεοδώρου λέγοντες·

Χαίροις, τῆς Βασιλίδος κλέος·

Χαίροις, τῆς Ἐκκλησίας στέφος.

Χαίροις, τῶν Ὀρθοδόξων καύχημα·

Χαίροις, Γνησιοφρόνων στήριγμα.

Χαίροις, Μονῆς Στουδίου ὡράϊσμα·

Χαίροις, τῶν εὐσεβούντων ἥδυσμα.

Χαίροις, τῶν Μοναζόντων θεῖος ὁδηγός·

Χαίροις, μετανοούντων ἄφθιτος θησαυρός.

Χαίροις, τῶν Ζηλωτῶν ὑπόδειγμα·

Χαίροις, τῶν θεολόγων παράδειγμα.

Χαίροις, καλῶν Ποιμένων ὑπογραμμός·

Χαίροις, πιστῶν Ἱερέων ὁ βοηθός.

Χαίροις, Πάτερ Θεόδωρε!

## Μηνολόγιον.

Τῇ ΙΑ´ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Πατρὸς ἡμῶν Θεοδώρου, Ἡγουμένου τοῦ Στουδίου.

## Στίχοι.

Πολλὰς ἀμοιβάς, Θεόδωρε Τρισμάκαρ,

Βίου μεταστάς, ὡς βιοὺς εὖ, προσδόκα.

## Συναξάριον

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Κοπρωνύμου, γονέων εὐσεβῶν, Φωτεινοῦ καὶ Θεοκτίστης· παιδιόθεν δὲ τὸν ἐνάρετον βίον ἑλάμενος, γράμμασιν ἐκπαιδεύεται, καὶ εἰς τὸ ἀκρότατον ὕψος τῆς γνώσεως ἀνήχθη.

Τὸν μονήρη δὲ βίον ὑπελθών, καὶ πᾶσαν ἰδέαν ἀρετῆς κατορθώσας, χρίσματος τῆς Ἱερωσύνης παρὰ τοῦ μεγάλου Ταρασίου ἀξιοῦται· καὶ τοῦ Ὁσίου Πλάτωνος τηνικαῦτα Ἡγουμένου τῆς Μονῆς τῶν Στουδίου τυγχάνοντος, καὶ παραιτησαμένου, ὁ μακάριος οὗτος τὴν ἡγεμονίαν ἀναδέχεται, καλῶς τὸ πιστευθὲν αὐτῷ ποίμνιον ὁδηγῶν, καὶ ἐπὶ νομὰς σωτηρίους ποιμαίνων.

Οὗτος οὖν ὁ μέγας Θεόδωρος, καὶ Ταράσιος, ὁ ἐν Ἁγίοις, ὁ μὲν ἀπωθεῖται τῆς Ἐκκλησίας, ὁ δέ, μαστιχθείς, ἐν τῇ Θεσσαλονίκῃ περιορίζεται, παρὰ Κωνσταντίνου υἱοῦ Εἰρήνης τῆς Βασιλίσσης, διὰ τὸ τὴν μὲν νομίμως αὐτῷ συναφθεῖσαν γυναῖκα ἀποβαλεῖν, ἀγαγέσθαι δὲ ἑτέραν, καὶ διελεχθῆναι παρ᾽ αὐτῶν.

Ἐπεὶ δὲ Κωνσταντῖνος τυφλωθεὶς τῆς βασιλείας ἀπεῤῥάγη, ἀνακαλεῖται τῆς ἐξορίας Θεόδωρος· ἀλλὰ καὶ αὖθις ἐξορίζεται ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ παρὰ Λέοντος Ἁρμενίου τοῦ Εἰκονομάχου. Ἐκεῖθέν τε πάλιν παραπέμπεται ἐν τῷ τῶν Ἀνατολικῶν θέματι, ἐν ᾧ περὶ τὰς ἑκατὸν μάστιγας περὶ τὸν νῶτον δεξάμενος, γενναίως ἐνεκαρτέρει. Καὶ αὖθις παρὰ τοῦ Στρατοπεδάρχου σφοδραῖς μάστιξιν αἰκίζε-

ται. Κἀκεῖθεν ἐν τῇ Σμύρνῃ παραπεμφθείς, εἱρκτῇ δυσωδεστάτῃ ἐγκλείεται, καὶ τῷ βασανιστηρίῳ ξύλῳ ἐμβάλλεται.

**Ἐ**πεὶ δὲ καὶ αὐτὸς τῆς βασιλείας ἀπεῤῥάγη, καὶ Μιχαὴλ τὰ σκῆπτρα ἐδέξατο, ἀνακαλεῖται τῶν δεσμῶν καὶ τῆς ἐξορίας ὁ μέγας Θεόδωρος· μικρὸν δὲ ἀνεθείς, τοῖς φίλοις συνῆν, καὶ μετὰ χρηστῆς ἐλπίδος ἀνεπαύετο ἐν Κυρίῳ. Ἦν δὲ τὴν ἡλικίαν κατάξηρος, ὠχρὸς τὴν ὄψιν, μιξοπόλιος (*stacojmălis*) τὴν τρίχα, καὶ ἐπιφάλακρος.

**Τ**αῖς Αὐτοῦ ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. **Ἀ**μήν.

* * *

## Κανόνων συνέχεια.

### Τῆς Θεοτόκου.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

«**Ο**ἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες παῖδες ἐν Βαβυλῶνί ποτε, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ». (δὶς)

**Τ**ὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας, Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, Ἣν προστάτιν ἀνέδειξας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Θ**ελητὴν τοῦ ἐλέους, Ὃν ἐγέννησας, Μῆτερ ἁγνή, δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Θ**ησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας, τὴν Σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Σ**ωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας, Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ Σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστόν, ἡμῖν ἀποτεκοῦσα.

### Τοῦ Ὁσίου.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

**Ἰ**δὼν ὁ προγνώστης Σου, τῆς διανοίας τὴν καθαρότητα, λογικῶν Σε προβάτων, καθηγεμόνα Πάτερ προβάλλεται· Ὦ νῦν παμμάκαρ, κραυγάζεις Θεόδωρε· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

**Τ**ὸ θεῖον Εἰκόνισμα, μορφῆς τρισμάκαρ τῆς ἀνθρωπίνης Χριστοῦ, προσκυνῶν διετέλεις, τοῖς θεομάχοις ἀντιταττόμενος, μέχρι θανάτου, καὶ ψάλλων Θεόδωρε· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

**Ὁ** λόγος Σου ἅλατι, διηρτυμένος ὤφθη Θεόδωρε, καὶ ὁ βίος Σου Πάτερ, λελαμπρυσμένος, αἴγλῃ τοῦ Πνεύματος· Ἣ νῦν ἀστράπτων, βοᾷς ἀγαλλόμενος· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

**Ἰ**δοὺ νῦν πεπλήρωται, Δαυῒδ τοῦ θείου ἡ θεία πρόῤῥησις· λι-

τανεύουσιν ὄντως, τῷ Σῷ προσώπῳ Θεογεννῆτορ Ἁγνή, οἱ κεκτημένοι τὸν πλοῦτον τῆς Χάριτος, καὶ εὐλογοῦσι Θεόν, τὸν τῶν Πατέρων ἡμῶν.

**Καταβασία· Οὐκ ἐλάτρευσαν.**

**Τῆς Θεοτόκου.**

ᾨδὴ η΄. Ὁ Εἱρμός.

«Τὸν Βασιλέα τῶν Οὐρανῶν, Ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας». (δὶς)

Τοὺς βοηθείας τῆς παρὰ Σοῦ δεομένους, μὴ παρίδῃς, Παρθένε, ὑμνοῦντας, καὶ ὑπερυψοῦντας, Σέ, Κόρη, εἰς αἰῶνας.

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί Σε Παρθένε, καὶ ὑπερυψοῦσι, τὸν ἄφραστόν Σου τόκον.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύοις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα Σὲ δοξάζω, τὴν Κεχαριτωμένην.

Τῶν πειρασμῶν Σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν Σὲ ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰώνας.

**Τοῦ Ὁσίου.**

ᾨδὴ η΄. Ἑπταπλασίως κάμινον.

Σεσοβημένους ἔδειξας, θεοφόρε Θεόδωρε, τοὺς ἐφευρέτας τῶν δυσεβῶν αἱρέσεων, διδάσκων τὴν ἄχραντον, τιμητικῶς Εἰκόνα Χριστοῦ, σέβειν προσκυνεῖν τε, καὶ τιμᾶν θεοφρόνως, καὶ μέλπειν τῷ Δεσπότῃ· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Διὰ παντὸς τοῦ βίου Σου, θεοφόρε Θεόδωρε, τῆς Ὀρθοδοξίας ὁδηγὸς γεγένησαι, φωστὴρ φαεινότατος, θεοειδὴς διδάσκαλος, τύπος Μοναστῶν, καὶ ἀκριβὴς νομογράφος, διδάσκων ἀναμέλπειν· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐπὶ τῆς γῆς ἠγώνισαι, εὐσεβείας διδάσκαλος, καὶ τῆς ἀληθείας, ἀψευδὴς συνήγορος, Παμμάκαρ γενόμενος· ἐν Οὐρανοῖς δὲ δῶρον Θεοῦ, τῆς δικαιοσύνης ἀνεδήσω στεφάνους, τὸν δρόμον ἐκτελέσας, καὶ τὴν Πίστιν τηρήσας, Χριστὸν δοξολογήσας, εἰς πάντας τοὺς αἰῶνας.

Γνώσει τὸν νοῦν ἐλάμπρυνας, σωφροσύνῃ τὴν ἔφεσιν, καὶ τὸ θυμικὸν δὲ τῇ ἀνδρείᾳ ἔζωσας, ἰθύνας Θεόδωρε, δικαιοσύνῃ πάνσοφε, ἱεροπρεπῶς τὰς ψυχικάς Σου δυνάμεις, συμφώνως ἀναμέλπων· Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Εὐλογημένη Δέσποινα, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας, τὰς οὐλὰς ἐξάλειψον, Θεὸν ἡ κυήσασα, τῶν ἐπὶ πάντων Κόρη ἁγνή, ἐκ παρθενικῆς ἀπειρογάμου νηδύος· Ὃν Παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, λαὸς ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

**Καταβασία· Παῖδας εὐαγεῖς.**

**Τῆς Θεοτόκου.**

᾿Ωδὴ θ΄. ῾Ο Εἱρμός.

«Κυρίως Θεοτόκον, Σὲ ὁμολογοῦμεν, οἱ διὰ Σοῦ σεσωσμένοι, Παρθένε ἁγνή, σὺν Ἀσωμάτοις χορείαις, Σὲ μεγαλύνοντες». (δὶς)

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκπροσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε, Χριστὸν κυήσασα.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην, ἐξαφανίσασα.

Λιμὴν καὶ προστασία, τῶν Σοὶ προσφευγόντων, γενοῦ Παρθένε, καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη, καὶ ἀγαλλίαμα.

Φωτός Σου ταῖς ἀκτῖσι, λάμπρυνον, Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον, Σὲ καταγγέλλοντας.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα Παρθένε, θεράπευσον, ἐξ ἀῤῥωστίας εἰς ῥῶσιν, μετασκευάζουσα.

**Τοῦ Ὁσίου.**

᾿Ωδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ῥοαῖς Σου τῶν δακρύων ὡς Ἀσκητής, καὶ πηγαῖς τῶν αἱμάτων ὡς Μάρτυς Χριστοῦ, ἐκλαμπρυνθείς, λάμπεις ἑκατέρωθεν τηλαυγῶς, δικαιοσύνην Ὅσιε, περιβεβλημένος ὡς Ἱερεύς, τῶν θείων Ἀνακτόρων, χορεύων ἐνδοτάτῳ, περὶ Θεὸν Πάτερ Θεόδωρε.

Ἁγίως Σου τὸν δρόμον διαδραμών, ἐν Ἁγίων ἁγίοις σκηνώμασι, νῦν κατοικεῖς, στέφος ἀφθαρσίας ἀπειληφώς, καὶ βασιλείας ἔνδυμα, μεγαλοπρεπές τε καὶ ἱερόν· ἐν οἷς ἠγλαϊσμένος, Θεόδωρε παρέστης, τῷ Σῷ Δεσπότῃ ἀγαλλόμενος.

Ἰδεῖν κατηξιώθης τῶν ἀγαθῶν, τὴν πηγὴν θεοφόρε Θεόδωρε, ὡς μετελθών, βίον ἐνθεώτατον ἀληθῶς· καὶ τῆς τοῦ κόσμου σχέσεως, διὰ πολιτείας εἰλικρινοῦς, τὸν νοῦν ἐλευθερώσας, καὶ Μάρτυς στεφηφόρος, γεγενημένος ὤφθης ἄριστος.

Ῥημάτων Σου ὁ φθόγγος Δῶρον Θεοῦ, ἐπὶ πάσας ἠκούσθη πανεύφημε, οἷα βροντή, τὰς τῆς οἰκουμένης ἐσχατιάς· ὡς ποταμοὶ δὲ βρύουσι, τῶν Σῶν διδαγμάτων αἱ διδαχαί· Θεόδωρε διό Σε, ὡς θεῖον θεολόγον, νῦν ἐπαξίως μακαρίζομεν.

Θεοτοκίον.

Ὡράθης ὢ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθόν, Λόγον ἐκ καρδίας τῆς Ἑαυτοῦ, Ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός· Ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

**Καταβασία· Ἅπας γηγενής.**

* * *

## Ἐξαποστειλάρια.

Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὑπὲρ τῶν θείων Εἰκόνων, ὑπέμεινας πᾶσαν θλῖψιν, Θεόδωρε θεηγόρε· διὸ διπλοῦν καὶ τὸ στέφος, ἐκ δεξιᾶς τοῦ Ὑψίστου, ἐδέξω Ὅσιε Πάτερ.

Θεοτοκίον. Ὅμοιον.

Ἐν Σοὶ πανάχραντε Κόρη, ἐθεωρήθησαν ὄντως, αἱ τοῦ Κυρίου πορεῖαι· καὶ τοὺς βροτοὺς ὁδηγοῦσιν, ἔνθα χορεῖαι Ἀγγέλων, καὶ πάντων Ἁγίων δῆμοι.

* * *

## Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν Στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου.

Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν.

Ποίοις ἐγκωμίοις Σὲ στέψωμεν· ποταμὲ θεολογίας θεοπνεύστου τοῦ Χριστοῦ· γεωργὲ καλλιεργήσας τὴν Σὴν ποίμνην θαυμαστῶς· Κανόνων ποιητὰ θεοειδέστατε· καὶ ξίφος θανατοῦν εἰς τέλος αἵρεσιν· σεπτῶν Εἰκόνων ὑπέρμαχε, καὶ τῶν δαιμόνων τὸ φόβητρον· Θεόδωρε, Ὀρθοδόξων τὸ ἐντρύφημα. (δὶς)

Πῶς Σὲ νῦν καλέσω μακάριε· ἀσκητὴν ὅτι παρεῖδες τῶν φθαρτῶν τὰς ἡδονάς· καὶ πηγὴν ὅτι ἐκβλύζεις θεῖα ῥεῖθρα τοῖς πιστοῖς· Εἰκόνων ζηλωτὴν θαυμασιώτατον· καὶ δῶρον εὐσεβέσιν οὐρανόπεμπτον· ποιμαντικῇ ῥάβδῳ στήριξον, Γνησιοφρόνων τὸν σύλλογον, Θεόδωρε, Καινοτόμων θεῖος ἔλεγχος.

Δεῦτε τὴν Εἰκόνα τιμήσωμεν, εὐλαβῶς τοῦ Θεοδώρου τοῦ ποιμένος τοῦ καλοῦ· καὶ τρανῶς χεῖρας κροτήσωμεν δοξάζοντες Αὐτόν· ἐδείχθη τῶν Πατέρων ἀκροθίνιον· Δεσπότου τὴν Εἰκόνα ὑπερήσπισε· τομεὺς σπερμάτων τοῦ δαίμονος, σπορεὺς Δογμάτων τῆς Χάριτος, θεόπνευστος, ὤφθη πᾶσι καὶ θεόφθογγος.

Δόξα. Ἦχος πλ. δ΄.

Παμμάκαρ Θεόδωρε, μύστα ἱερώτατε ἐνθέου κηρύγματος· θείῳ ζήλῳ πυρπολούμενος, ἀνεδείχθης τοῦ Πνεύματος σάλπιγξ εὔηχος· καθελὼν γὰρ ἄθεον δόγμα τῶν εἰκονομάχων, πᾶσιν ἐκήρυξας τρανῶς· Τῆς ἀπαραλλάκτου Εἰκόνος τοῦ Πατρός, σαρκωθείσης ἐκ Παρθένου Μητρὸς ἐν χρόνῳ, ἱστοροῦμεν τῆς Μορφῆς τὸ Ἐκτύπωμα, καὶ ἀσπαζόμεθα τιμητικῶς, σὺν τῆς Θεοτόκου καὶ πάντων τῶν Ἁγίων· μεθ᾽ Ὧν πάτερ πανόλβιε, δῶρον θεῖον πέμψατε ἡμῖν, ἔλεον καὶ εἰρήνην, ἀπὸ Θεοῦ Παντοκράτορος.

Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη.

**Τὸ Ἀπολυτίκιον.**

Ἡ Ἐκτενὴς καὶ τὰ Πληρωτικά.

Ἀπόλυσις.

* * *

# Εἰς τὴν Θείαν Λειτουργίαν

**Τυπικὰ**

Ὁ Ψαλμὸς ρβ΄, Ἦχος πλ. δ΄, ὡς καὶ ὁ Ψαλμὸς ρμε΄, Ἦχος β΄.

•

**Μακαρισμοὶ**

Ἱστῶμεν ϛ΄ καὶ ψάλλομεν ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου, ἐκ τῆς Ὠδῆς γ΄ καὶ ἐκ τῆς Ὠδῆς ϛ΄.

•

**Ἀπόστολος**

Βλέπε, τῇ Παρασκευῇ τῆς ΙΘ΄ Ἑβδομάδος, Πρὸς Φιλιππησίους, α΄ 27-β΄ 4.

Βλέπε Ἐπίμετρον, σελ. 22.

•

**Εὐαγγέλιον**

Βλέπε, Ὀκτωβρίου ΙΑ΄, τὸ τῶν Ἁγίων Πατέρων τῆς Ζ΄ Ἁγίας Οἰκουμενικῆς Συνόδου ἐκ τοῦ κατὰ Ματθαῖον, ε΄ 14-19.

Βλέπε Ἐπίμετρον, σελ. 23.

•

* * *

**Κοινωνικὸν**

Ψαλμὸς ρια΄ 6.

**Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται Δίκαιος. **Ἀ**λληλούϊα.

* * *

## Μεγαλυνάριον

Ἦχος πλ. δ΄.

**Χ**αίροις εὐσεβείας μυσταγωγέ, καὶ Μονήρους Βίου, μυστηπόλε καὶ ὁδηγέ· χαίροις ὁ ἐκτρέφων τῇ δωρεᾷ τοῦ λόγου, Θεόδωρε παμμάκαρ, τοὺς προσιόντας Σοι.

†

*Τῷ δὲ Σωτῆρι*
*καὶ Εὐεργέτῃ Θεῷ ἡμῶν,*
*τῷ Πατρί, καὶ τῷ Υἱῷ*
*καὶ τῷ θείῳ Παρακλήτῳ,*
*δόξα, προσκύνησις,*
*καὶ εὐχαριστία!*
*Ἀμήν!*

# Ἐπίμετρον

## Εὐαγγέλιον Ὄρθρου

Λουκᾶν ιβ΄ 2-12. Βλ. Εὐαγγελιστάριον, Παρασκευῆς τῆς Ζ΄ Ἑβδομάδος.

[Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς·] Οὐδὲν συγκεκαλυμμένον ἐστὶν ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται·

Ἀνθ᾽ ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται, καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις, κηρυχθήσεται ἐπὶ τῶν δωμάτων.

Λέγω δὲ ὑμῖν τοῖς φίλοις Μου· μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι.

Ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε· φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι ἔχοντα ἐξουσίαν ἐμβαλεῖν εἰς τὴν γέενναν· ναί, λέγω ὑμῖν, τοῦτον φοβήθητε.

Οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύο; καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ Θεοῦ·

Ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται. Μὴ οὖν φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε.

Λέγω δὲ ὑμῖν· πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν Ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ·

Ὁ δὲ ἀρνησάμενός Με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ.

Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται.

Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τί ἀπολογήσησθε ἢ τί εἴπητε·

Τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

## Ἀπόστολος

Πρὸς Φιλιππησίους α΄ 27-β΄ 4. Βλ. Ἀποστολάριον, Παρασκευῆς τῆς ΙΘ΄ Ἑβδομάδος.

**Α.** Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος βαρύς. Ψαλμὸς ϞΗ΄.
**Δ.** Πρόσχωμεν!
**Λ.** Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν. (δὶς)
**Α.** Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.
**Λ.** Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.
**Δ.** Σοφία!
**Α.** Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
**Δ.** Πρόσχωμεν!

[Ἀδελφοί,] ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε, ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς εἴτε ἀπὼν ἀκούσω τὰ περὶ ὑμῶν, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου,

Καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἥτις αὐτοῖς μέν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ Θεοῦ·

Ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς Αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ Αὐτοῦ πάσχειν,

Τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοὶ καὶ νῦν ἀκούετε ἐν ἐμοί.

Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία Πνεύματος, εἴ τις σπλάγχνα καὶ οἰκτιρμοί,

Πληρώσατέ μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες,

Μηδὲν κατὰ ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν.

Μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος.

**Α.** Ἀλληλούϊα. Ἦχος α΄. Ψαλμὸς ογ΄.
**Δ.** Πρόσχωμεν!
**Λ.** Ἀλληλούϊα. (γ΄)
**Α.** Μνήσθητι τῆς συναγωγῆς Σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς.
**Λ.** Ἀλληλούϊα. (γ΄)
**Α.** Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.
**Λ.** Ἀλληλούϊα. (γ΄)

**Δ.** Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ Ἁγίου Εὐαγγελίου.

**Ι.** Εἰρήνη πᾶσι!

**Λ.** Καὶ τῷ πνεύματί Σου.

**Ι.** Ἐκ τοῦ κατὰ Ματθαῖον Ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

**Δ.** Πρόσχωμεν!

**Λ.** Δόξα Σοι, Κύριε, δόξα Σοι!

## Εὐαγγέλιον Θείας Λειτουργίας

Ματθαῖον ε΄ 14-19. Βλ. Εὐαγγελιστάριον, Ὀκτωβρίου ΙΑ΄, τὸ τῶν Ἁγίων Πατέρων τῆς Ζ΄ Ἁγίας Οἰκουμενικῆς Συνόδου.

[Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς·] Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη.

Οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ.

Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς Οὐρανοῖς.

Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν Νόμον ἢ τοὺς Προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.

Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ Νόμου ἕως ἂν πάντα γένηται.

Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν Ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν. Ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν.



Τοιχογραφία εἰς τὴν Τράπεζα τῆς Ἱερᾶς Μονῆς τῶν Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης Φυλῆς Ἀττικῆς.

**Α.** Ἀναγνώστης. **Δ.** Διάκονος. **Ι.** Ἱερεύς. **Λ.** Λαός.



Βυζαντινὴ μικρογραφία. Ἡ Μονὴ Στουδίου εἰς τὴν Προποντίδα (Μηνολόγιον Βασιλείου Β΄, ΙΑ΄ αἰ.).

Μονὴ Στουδίου. Ἱδρύθηκε ἐν ἔτει 462 ὑπὸ τοῦ Συγκλητικοῦ Στουδίου, εἰς τὸν Ξηρόλοφον τῆς Κωνσταντινουπόλεως.
Ἦτο ἀφιερωμένη εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Πρόδρομον.
Ἀπετέλεσε ἐργαστήριον μεγάλης πνευματικῆς κινήσεως: κέντρον μεγάλο τοῦ Μοναχικοῦ Βίου, τῶν Γραμμάτων καὶ τῶν Τεχνῶν, Ἐργαστήριον Χειρογράφων.



